σῶν δὴ οἶμαι τῶν b) τεχνῶν, τῶν μὲν c), ἐργασία τὸ πολύ ἐστι, καὶ λόγου βραχέος δέονται· ἔνιαι δὲ, οὐδενός· ἀλλὰ τὸ d) τῆς τέχνης περαίνοιτο ἂν καὶ διὰ σιγῆς. οἷον γραφικὴ καὶ ἀνδριαντοποιΐα, καὶ ἄλλαι πολλαί. τὰς τοιαύτας μοι δοκεῖς λέγειν, περὶ ἃς οὐ φὴς τὴν ῥητορικὴν εἶναι. ἢ οὔ; ΓΟΡ. Πάνυ μὲν οὖν καλῶς ὑπολαμβάνεις, ὦ Σώκρατες. ΣΩ. Ἕτεραι δέ γε εἰσὶ τῶν τεχνῶν αἳ διὰ λόγου πᾶν περαίνουσι, καὶ ἔργου, ὡς ἔπος εἰπεῖν, ἢ οὐδενὸς προσδέονται, ἢ βραχέος πάνυ· οἷον e) ἡ ἀριθμητικὴ, καὶ ἡ λογιστικὴ, καὶ ἡ γεωμετρικὴ, καὶ ἡ πεττευτική γε, καὶ ἄλλαι πολλαὶ τέχναι· ὧν ἔνιαι σχεδόν γε f) ἴσους τοὺς λόγους ἔχουσι ταῖς πράξεσιν, αἱ δὲ πολλαὶ, πλείους· καὶ τοπαράπαν g) πᾶσα



b) Articulus τῶν aberat a Cod. vtroque. Genitiui autem πασῶν τῶν τεχνῶν pendent ab omissa Praepositione περὶ.

c) Vid. ad Sect. 15. not.

d) Cod. vterque ἀλλ' ἀπὸ. vitiose, vt statim περαίνοιντ' ἄν. Verba οἷον γραφικὴ καὶ ἀνδριαντοποιΐα καὶ ἄλλαι πολλαὶ coniungenda sunt cum verbis ἔνιαι δέ. Eiusmodi verborum traiectiones plurimae in Platonis dialogis offenduntur, et fortasse huius rei ignoratio caussa fuit lectionis modo commemoratae περαίνοιντ' ἄν. Caeterum spectat hunc locum Aristides Orat. Platon. I. p. 38. T. II. Iebb. verbis σκέπει δὴ καὶ περὶ τῆς γραφικῆς, ἣν εἰ καλεῖς τέχνην, οὐκέτ' ἐρήσομαι· καλεῖς γὰρ ἐν αὐτοῖς γε τούτοις τοῖς Γοργιείοις λόγοις.

e) Cod. Meerm. οἷον, et articulus ἡ ante nomina λογιστικὴ, γεωμετρικὴ et πεττευτικὴ in vtroque Codice deerat, posteriori vero artis nomini πεττευτικὴ alia manus in Cod. Meerm. rubro liquore superscripserat ταυλιστική.

f) Cod. vterque σχεδόν τι, vt habetur Sect. 27.

g) Ald. Bas. vtraque τὸ παράπαν.